ἀλλά σ' Ἐλευθέρνης ὅδ' ἔχει τάφος· ἔστι γὰρ ἴση
πάντοθεν εἰς Ἀΐδην ἐρχομένοισιν ὁδός.

## III

†Εὐήθης τρύτωνος† ἐπ' οὐκ ἀγαθαῖς ἐλοχεύθη
κληδόσιν, οὐ γὰρ ἂν ὧδ' ὤλετο δαιμονίη
ἀρτιτόκος· τὰ δὲ πολλὰ κατήγαγεν ἓν βρέφος Ἄιδην
σὺν κείνῃ, δεκάτην δ' οὐχ ὑπερῆρεν ἕω.

## IV

ὄρνεον ὦ Χάρισιν μεμελημένον, ὦ παρόμοιον
ἀλκυόσιν τὸν σὸν φθόγγον ἰσωσάμενον,
ἡρπάσθης, φίλ' ἔλαιε· σὰ δ' ἤθεα καὶ τὸ σὸν ἡδύ
πνεῦμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

## V

τῇδε τὸν ἐκ Μελίτης ἀργὸν κύνα φησὶν ὁ πέτρος
ἴσχειν, Εὐμήλου πιστότατον φύλακα.
Ταῦρόν μιν καλέεσκον ὅτ' ἦν ἔτι, νῦν δὲ τὸ κείνου
φθέγμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

## VI

τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μάτηρ,
ἁ Λακεδαιμονία τὸν Λακεδαιμόνιον,